καὶ μηδέποτε ἐνεργητικῶς(ὃ καὶ Ἀποθετικὸν καλεῖται, ὡς ἀποτιθέμενον τὴν εἰς ω κατάληξιν.)· καὶ σημαῖνον ἤτοι ἐνέργειαν μόνον· ἢ πάθος μόνον.

Διαιρεῖται δὲ εἰς Αὐτοενεργητικὸν, ὡς ἀφ' ἑαυτοῦ ἐνέργειαν σημαῖνον· καὶ εἰς Ὁλοπαθητικὸν, ὡς ἀμοιροῦν ἐνεργητικῆς εὐχρήστου διαθέσεως, καὶ παθητικῶς σημαῖνόν τι παθητικόν.

Καὶ τὰ μὲν Αὐτοενεργητικὰ συντάσσονται ἀεὶ κατὰ τὰ ἐνεργητικὰ, καὶ οὐδέποτε κατὰ τὰ παθητικά. Καὶ τὰ μὲν αἰτιατικῇ· οἷον· Αἰτιῶμαί σε· κέκτημαι· μιμοῦμαι· ὠνοῦμαι· καὶ τὰ τοιαῦτα. Τὰ δὲ δοτικῇ· οἷον· Μάχομαί σοι· χρῶμαι· ἐναντιοῦμαι· ἀνθίσταμαι· ἁμιλλῶμαι· ὀργίζομαι· καὶ τὰ τοιαῦτα. Τὰ δὲ γενικῇ· οἷον· Ἐφίεμαι· ἐπιλανθάνομαι· γλίχομαι· ὀρέγομαι· καὶ τὰ τοιαῦτα·

Τὰ δὲ Ὁλοπαθητικὰ ὁμοίως τοῖς παθητικοῖς συντάσσονται κατὰ πάντα, καὶ οὐδέποτε κατὰ τὰ ἐνεργητικὰ· οἷον· Φθείρομαι ὑπὸ τῆς νόσου· οὕτω καὶ, Οἴχομαι· ὀδυνῶμαι· πένομαι· καὶ τὰ τοιαῦτα.

Ταῦτα δὴ τὰ Ὁλοπαθητικὰ, καὶ δοτικῇ συντάσσονται ἐνίοτε, ἐλλείψει τῆς Ἐπὶ, ἢ προσκειμένης· οἷον· Οὐ πάντας ἡδομένους τῷ πράγματι εἶδον (Λουκιαν. Ἀποκηρυττόμ.). Ὡς μὴ πάνυ ἄχθοιτο ἐπὶ τῇ συμφορᾷ (Λουκιαν. Ἑρμότ. ἢ περὶ Αἱρέσ.). Καὶ αἰτιατικῇ, τῆς Διὰ ἢ Πρὸς ἐλλειπούσης, ἢ π[ρ]οσκειμένης· οἷον· ὀδύρομαι τὸν ἀπελθόντα. Ω' φίλοι δι' ἀμφότερα ἀνιῶμαι (Λουκιαν. Τόξαρ. ἢ περὶ Φιλοτ.).

## Περὶ τῶν Ἀπροσώπων.

Τῶν δ' Ἀπροσώπων ῥημάτων τὸ μὲν ἐστὶ κατὰ φωνὴν Ἐνεργητικὸν, τὸ δὲ κατὰ φωνὴν Παθητικόν.

## Τῶν Ἐνεργητικῶν.

Τοῦ μὲν οὖν Ἐνεργητικοῦ εἴδη τρία.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ... ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

α. Τὸ μὲν Κτητικὸν γενικῇ συντάσσεται· καὶ ἅμα δοτικῇ περιποιητικῶς· οἷον· Μέλοι μὲν ὑμῶν τῷ θεῷ· μέλοι δὲ ὑμῖν τοῦ θεοῦ (Συνέσ. Ἐπιστολ. έ.). Καὶ μόνη γενικῇ ἄνευ δοτικῆς· οἷον· Δεῖ δὴ χρημάτων (Δημοσθ. Ὀλυνθιακ. Ά.). Καὶ μετὰ προθέσεως δὲ τὴν γενικὴν ἔχει· οἷον· Μεμέληκεν αὐτῷ περὶ τούτων (Δημοσ. κατὰ Νεαιρ.).

β'. Τὸ δὲ Περιποιητικὸν, δοτικῇ καὶ ἅμα ἀπαρεμφάτῳ συντάσσεται· οἷον· Δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Σημ. Τὸ ἐπιφερόμενον τῷ Δοκεῖ Ἀπαρέμφατον ἀπροσώπῳ μὲν ὄντι τελικόν ἐστιν, οἷον· Δοκεῖ πέμψαι· ἤτοι ἵνα πέμψωσι· προσωπικῷ δὲ· εἰδικὸν· οἷον· Ἔδοξε παιδείᾳ δεῖσθαι· ἤτοι ὅτι δεῖται.

γ'. Τὸ δὲ Ἐπιβατικὸν φέρεται εἰς ἀπαρέμφατον, ἤτοι συνεκφέρον τὴν ἐκ πρώτου αἰτιατικὴν, ἢ οὔ· οἷον· Ἐμὲ δεῖ προκεκρῖσθαί σου, ὦ Λίβυ (Λουκιαν. νεκρικ. διάλ. Ἀλεξ. Ἀννίβ. Μίν. Σκηπ.). Ἔδει μὲν, ὦ βουλὴ, τεθνᾶναί με πρὶν ἢ γῆμαι (Λιβαν. περὶ δυσκόλου ἀνδρός.). Δεῖ γράφειν.

## Τῶν Παθητικῶν.

Τὰ δὲ Παθητικὰ, καθόλου μὲν καθ' ἑαυτὰ κεῖται, ἥκιστα πρὸς ἕτερον συντασσόμενα· οἷον· λέγεται· εἴρηται· εἰρήσθω· πεποιήσθω· ἐνίοτε δὲ καὶ πρὸς ἀπαρέμφατον ἐπιβατικῶς· ἤτοι τελικὸν· οἷον· Ἐνδέχεται εἶναι· ἢ εἰδικὸν· οἷον· Λέγεται γενέσθαι· καὶ περιποιητικῶς· οἷον· Ἤκουσταί μοι·

## Σημείωσις.

Ἔξεστι δὲ τοῖς ἀπροσώποις καὶ προσωπικῶς χρῆσθαι· οἷον· Ἑορταὶ μέλουσι πᾶσι (Πλάτ. Νομικ. Ή.). Μετῆν γὰρ ἂν καὶ ἐμοὶ τούτου τοῦ ἀγαθοῦ οὐκ ἐλάχιστον μέρος (Λυσ. κατὰ Ἐρατοσθ.). Πα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΟΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΑΝΤΗΣ ΙΩΑΝΝΙΝΑ 2006

πρὸς μὲν δὴ λέγεται Κῦρος γενέσθαι (Ξενοφ. Κύρ. Παιδ. Ά. β΄. 1.). Παιδεία τοῖς πλείστοις ἔδοξε δεῖσθαι.

Σημ. Πάντα δὲ τὰ ἀπρόσωπα δύνανται καὶ ὡς προσωπικὰ λαμβάνεσθαι, ἀποδιδομένου τοῦ ἀπαρεμφάτου ὡς ἐκ πρώτου· οἷον· Δοκεῖ · · · πέμψαι· τὸ πέμψαι δοκεῖ· ἢ κατ' ἀνάλυσιν τοῦ ἀπροσώπου ῥήματος· οἷον· Μετῆν μοι καὶ τούτου, ἀντὶ ἦν μοι μέρος καὶ τούτου· καὶ αὕτη ἐστὶν ἡ τῶν νεωτέρων γραμματικῶν γνώμη.

## Ἐν γένει δέ.

Ἐπ' ἀκριβείας ἀποδοῦναι ἑκάστου ῥήματος καθ' ἕκαστον εἶδος τὴν σύνταξιν ποικίλην οὖσαν, δυσχερές τε ἐστὶ, καὶ οὐ κατὰ γραμματικὴν τὸν τρόπον τῆς γλώσσης διὰ γενικῶν τινων τόπων ὑπισχνουμένην· ταῦτ' ἄρα ἐκ τῶν εἰρημένων τὴν ἀφορμὴν λαβοῦσι, τὴν χρῆσιν παρὰ τοῖς ἐνδοξοτέροις παρατηρητέον· ἢ γοῦν ἐν λεξικοῖς ἐντελέσι τὰ καθ' ἕκαστα ἐξετάζουσι ζητητέον.

## Περὶ Χρόνων.

Χρώμεθα δὲ τοῖς Χρόνοις καθ' ἣν ἕκαστος ἔλαχε σημασίαν· οἷον· τῷ μὲν Ἐνεστῶτι, ἐπὶ τὸ ἐνιστάμενον καὶ ἀτελές· τῷ δὲ Παρατατικῷ ἐπὶ τὸ παρατεταμένον καὶ ἀτελὲς παρῳχημένον· τῷ δὲ Μέλλοντι, ἐπὶ τὸ μέλλον· τῷ δὲ Παρακειμένῳ, ἐπὶ τὸ παρεληλυθὸς ἄρτι, καὶ συντετελεσμένον· τῷ δὲ Ὑπερσυντελικῷ, ἐπὶ τὸ παρεληλυθὸς πάλαι, καὶ συντετελεσμένον· τῷ δὲ Ἀορίστῳ, ἐπὶ τὸ ἀπροσδιόριστον, συντετελεσμένον παρεληλυθός.

## Περὶ Ἐγκλίσεων.

Σημ. Ἔγκλισίς ἐστι κρίσις, ἢ πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον· ἢ τοι γὰρ κρίνομεν ὁριστικῶς περί τινος προσώπου ἢ πράγματος· οἷον· τίς ἐστι· τί πράττει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Ο.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὶ πάσχει· ἢ προστάττομεν, ἢ εὐχόμεθα, ἢ μετά τινος τῶν ὑποτασσόντων μορίων προφέροντες τὸν λόγον, δηλοῦμεν ὑπόθεσιν, ἢ δισταγμὸν, ἢ αἰτίαν, ἤ τι τοιοῦτον. Αἱ μὲν οὖν κυρίως ἐγκλίσεις εἰσὶ τέσσαρες· Ὁριστικὴ, Προστακτικὴ, Εὐκτικὴ, καὶ Ὑποτακτικὴ· ἡ δὲ Ἀπαρέμφατος οὐ κυρίως Ἔγκλισις, ἀλλ᾽ εἰς ἐκείνας ἀναλύεσθαι ἔχει.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τῆς Ὁριστικῆς.

Τῇ μὲν Ὁριστικῇ τῶν Ἐγκλίσεων χρώμεθα ἐπὶ ὁρισμοῖς καὶ καταφάσεσιν· οἷον· ἄνθρωπός ἐστι ζῶον· ἐγὼ γράφω· καὶ ἐν ἀποφάσει προστιθέντες τὸ Οὐ· οἷον· ἐγὼ οὐ γράφω.

## Τῆς Προστακτικῆς.

Τῆς δὲ Προστακτικῆς τῷ μὲν δευτέρῳ προσώπῳ χρώμεθα, ἐπὶ προστάξει παρόντων μετὰ πτώσεως κλητικῆς, ἤτοι λεγομένης, ἢ νοουμένης· οἷον· ὦ φίλε πρόσχες· τῷ δὲ τρίτῳ, ἐπὶ προστάξει απόντων, δευτέρου ἐξ ἀνάγκης λαμβανομένου εἰς ἀπόδοσιν τῆς προστάξεως· οἷον· παρελθών τις δειξάτω (Δημοσθ. Ὀλυνθιακ. Β΄.).

Σημ. Χρώμεθα δ᾽ ἔτι τῇ Προστακτικῇ καὶ ἐπὶ προτροπῆς καὶ εὐχῆς· οἷον· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν (Ματθ. Γ. 2.). Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου (Ψαλμ. Ξ. 1.).

Βουλόμενοι δὲ τὸ σκληρὸν τῆς ἐν δευτέρῳ προσώπῳ προστάξεως ἐκκλίναι, καὶ ἡμᾶς αὐτοὺς ἐν ὑποθέσει συλλαμβάνοντες, χρώμεθα τοῖς Αὐθυποτάκτοις· οἷον· εἴπωμεν.

Πολλάκις δὲ, εἰς πλείονα ἐπίτασιν, ἐν τῷ δευτέρῳ προσώπῳ τῶν προστακτικῶν, κἀν τοῖς αὐθυποτάκτοις, τίθεται καὶ παρακελευσματικὰ ἐπιῤῥήματα· οἷον· φέρ᾽ εἰπέ· ἄγε εἴπωμεν· καὶ ἄγετε εἴπωμεν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Τῆς Εὐκτικῆς.

Τῇ δὲ Εὐκτικῇ χρώμεθα, ὅταν εὐχὴν καὶ ἐπιθυμίαν ἐκπληρῶ-

σαι βουλώμεθα· οἷον· Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα (Ὅμηρ. Ἰλ. ά. στίχ. ς΄.). Πολλάκις δὲ προστίθεται καὶ εὐκτικὰ ἐπιῤῥήματα πρὸς ἐπίτασιν τῆς εὐχῆς· οἷον· Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου (Ψαλμ. ριή. στίχ. ς΄.).

Σημ. ά. Ἐπὶ δὲ τῶν παρεληλυθότων χρώμεθα τοῖς παρῳχημένοις χρόνοις ὁριστικῆς ἐγκλίσεως μετὰ τῶν εὐκτικῶν μορίων· οἷον· Εἴθε σοὶ τότε συνεγενόμην.

Σημ. β. Ἔτι ἡ εὐκτικὴ ἀντὶ παρῳχημένου κεῖται ὁριστικῆς, ἔνθα ὁ λόγος περὶ παρεληλυθότος ἐστίν· οἷον· Ὅσα ἐπερωτῷτο, ταχὺ ἀπεκρίνετο (Ξενοφ. Κύρ. Παιδ. Α. 4. 3.). Καὶ ἀντὶ ὁριστικοῦ μέλλοντος ὡς ἐπὶ τὸ πλεῖστον ὁ ἀόριστος αὐτῆς· οἷον· οὐκ ἂν φύγοις· ἀντὶ οὐ φεύξῃ.

## Τῆς Ὑποτακτικῆς.

Τῇ δ' Ὑποτακτικῇ, ἐπειδὴ ἄνευ τῶν ὑποτασσόντων μορίων οὐ συνίσταται, χρώμεθα, ἤτοι αἰτιολογικῶς, ἢ διαπορητικῶς, ἢ διστακτικῶς, ἢ ἀποτελεστικῶς, κατὰ τὰ ὑποτάσσοντα μόρια. Καὶ αἰτιολογικῶς μὲν· οἷον· Ἵνα γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσε (Πλουτ. περὶ Παίδ. ἀγωγ.). Διαπορητικῶς δὲ· οἷον· Πότερον σιωπῶ, ἢ λέγω! Διστακτικῶς δὲ· οἷον· Ἐὰν διδάξω. Ἀποτελεστικῶς δὲ· οἷον· Ἵνα διδάξω. Δυνητικῶς δὲ· οἷον· Διδάξω ἄν.

## Τῆς Ἀπαρεμφάτου.

Τῶν δὲ Ἀπαρεμφάτων τὰ μὲν ἐστὶν Ὀνοματικά· τὰ δὲ, Παρεμφαντικά· τὰ δὲ, Εἰδικά· τὰ δὲ, Τελικά.

Τὰ μὲν οὖν Ὀνοματικὰ, ὅσα ἀντὶ ὀνόματος λαμβάνεται, Ἀπαρέμφατα, ἐκφέρεται κατὰ πάντα χρόνον· οἷον· τὸ μὲν προελέσθαι τὰ κάλλιστα, καὶ τὸ τῶν οἰηθέντων ἐκείνων Ἑλλήνων, εἰ πρόοιντο ἡμᾶς ἂν ἐν εὐδαιμονίᾳ διάξειν, τούτων αὐτῶν ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι (Δημοσθ. περὶ Στεφάν.).

Τὰ δὲ Παρεμφαντικὰ· ἐν οἷς μηδὲν τῶν μορίων ἁρμόττει, ἐπιφέρον-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΙΟΣ
Ε.ΡΑ.ΝΕ.Φ. ΙΩΑΝΝΙΝΑ 2006

ται τῷ Ὥστε, ἢ Οἷος, καὶ τῷ Μέλλω ῥήματι· καὶ ὅσα μὲν τῷ Ὥστε ἐπιφέρεται, κατὰ πάντα χρόνον λέγεται· οἷον· Οὕτως, ὥστε πάντας θαυμάζειν. Πολλοὺς δὲ μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς δέκα ὅλων ἐτῶν μηδὲ νεολκῆσαι, μηδὲ διαψύξαι τὸ σκαφίδιον (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.). Ταῦτ' ἐρεῖν ἔφη ὁ Δημοσθένης, ὥςε ἀποῤῥάψειν τὸ ςόμα Φιλίππου. Ὅσα δὲ τῷ μέλλω, ὡς μὲν ἐπὶ τὸ πλεῖστον πρὸς μέλλοντα· οἷον· μέλλω δράσειν· κατὰ παράτασιν δὲ καὶ πρὸς ἐνεστῶτα· οἷον· μέλλω δρᾷν· εἰ δὲ καὶ πρὸς ἄλλον τινὰ χρόνον φέροιτο, κατὰ μετάληψιν ἔσται· ἀεὶ μέν τοι ἐπὶ ἐνδεχομένων λαμβάνεται.

Τὰ δὲ Εἰδικὰ ἐν οἷς ἁρμόττει τὸ Ὅτι, ἐπιφέρονται μὲν τοῖς ἀφηγηματικοῖς, δοξαστικοῖς, γνωστικοῖς, ἐπαγγελτικοῖς, ὁμοτικοῖς, ἀπειλητικοῖς, καὶ ἐλπιστικοῖς ῥήμασι· καὶ ἔτι γε τοῖς παθητικοῖς ἀπροσώποις· ἀποδίδονται δὲ κατὰ χρόνον· ὅσα μὲν τοῖς ἀφηγηματικοῖς καὶ γνωστικοῖς καὶ δοξαστικοῖς καὶ ὁμοτικοῖς ἐπιφέρονται κατὰ πάντα χρόνον· οἷον· οἶδα, ἢ δοκῶ, ἢ λέγω εἰρηκέναι, λέγειν, ἐρεῖν. Ὄμνημι Ἀπόλλωνα ἰητρὸν · · · ἐπιτελέα ποιήσειν (Ἱπποκράτ. Ὅρκ.). Ὁ μὲν εἰληφὼς, ὤμνυε μὴ ἔχειν· ὁ δὲ ἔχων, μὴ εἰληφέναι (Αἰσώπου Μύθ. νεαν. καὶ μάγ.). Ὅσα δὲ τοῖς ἐπαγγελτικοῖς, καὶ ἀπειλητικοῖς, καὶ ἐλπιστικοῖς ἐπιφέρονται, πρὸς μέλλοντα· οἷον· Ὑπισχνοῦμαι ἐρεῖν. Ἀπειλῶ ἀποκόψειν. Ἐλπίζω ὄψεσθαι· εἰ μή τι δυνητικὸν παρεμπέσοι, ἤτοι λεγόμενον, ἢ νοούμενον· οἷον· Δῆλον ὅτι δεινὸν ἄν τι παθεῖν αὐτὸν ἤλπιζες (Δημοσθ. περὶ Παραπρεσβ.). Ὅσα δὲ τοῖς ἀπροσώποις πρὸς ἐνεστῶτα καὶ ἀόριστον· οἷον· Λέγεται γενέσθαι, ἢ γίγνεσθαι.

Σημ. Τὸ οἶδα, ἐπίσταμαι, καὶ ὅλως τὰ γνωστικὰ, ἐσθ' ὅτε καὶ τελικῷ ἀπαρεμφάτῳ συντάσσονται, ὀνοματικῶς λαμβανομένῳ κατ' ἔλλειψιν τοῦ ἄρθρου ἀντὶ αἰτιατικῆς· οἷον· ἐπίσταμαι γράφειν· Ἐθαύμαζον πάντες, πῶς οἶδε μὴ μαθὼν ἀναγινώσκειν.

Τὰ δὲ Τελικὰ, οἷς ἁρμόττει τὸ Ἵνα ἐπιφέρονται μὲν τοῖς προαιρετικοῖς καὶ εὐκτικοῖς ῥήμασι, καὶ τοῖς ἀπροσώποις, καθόλου δὲ πᾶσι τοῖς βουλήσιν σημαίνουσι κατ' ἔλλειψιν τοῦ πράγματος· απο-

Ε.Χ.Α. τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διδονται δὲ κατὰ χρόνοι, ἀόριστον μὲν, εἰ τὸ ἅπαξ δηλῶσαι δέοι· οἷον· βούλομαι γράψαι· ἐνεστῶτα δὲ, εἰ τὸ πολλάκις· οἷον· βούλομαι γράφειν· οἷς δὴ πολλαχοῦ διὰ πλείονα σαφήνειαν προστίθεται, ἤτοι τὸ ἀποστατικὸν Ὥστε, ἢ ἐλλειπτικὸν τὸ Τοῦ, ἢ πρόθεσις ὁμοῦ ἄρθρῳ, ἢ ὡς ἂν ἄλλως εὖ ἔχει Ἑλληνισμοῦ· οἷον· παρακαλῶ σε ταῦτα· ὥστε τυχεῖν, τοῦ τυχεῖν, ἐφ' ᾧ τυχεῖν.

## Καθόλου δέ.

Τὰ Ἀπαρέμφατα ἀντὶ ὀνομαστικῆς αἰτιατικὴν ἐκ πρώτου ἀμεταβάτως περιέχουσιν· οἷον· Οὐ θέλω ὑμᾶς ἀγνοεῖν (Παῦλ. πρὸς Θεσσαλ. δ'. 13.)· εἰ μὴ ταὐτοπροσωπία εἴη· τότε γὰρ ἡ ἐπιφερομένη μετοχὴ κατ' ὀνομαστικὴν λέγεται· οἷον· Θέλω ἀπελθεῖν, μηδὲν ὠφελούμενος· εἰ μή τι παρεμπέσοι· οἷον· Συνέφασαν οἱ Χαλδαῖοι, πολλὰ γὰρ ἂν ὠφελεῖσθαι, οὐδὲν ποιοῦντας (Ξενοφ. Κύρ. Παιδ. Γ'. β'. 9)·

Σημ. Εὕρηται δὲ καὶ ὀνομαστικὴ πρὸς ἕτερ προσωποῦν φερομένη ἀντὶ αἰτιατικῆς, ὅτε παρεμπεσόντων τινῶν, ἀφίσταται δ' ἡ τοῦ προκειμένου ὁ λέγων, καὶ οἱονεὶ ἐπιλαθόμενος ἀπαρεμφατικὴν ἐπιφέρει σύνταξιν ἀντὶ ὀρθοῦ ῥήματος, ἔνθα δὲ ἀντωνυμίας κατ' αἰτιατικὴν ποιεῖται τὴν ἐπανάληψιν· οἷον· Οἱ δὲ φίλοι, ἤν τις ἐπίστηται αὐτοῖς χρῆσθαι, ὥστε ὠφελεῖσθαι ἀπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι (Ξενοφ. Οἰκονομ. Βιβλ. έ. 1.). Τοιαῦτα δὲ πάμπολλά ἐστιν εὑρεῖν παρὰ τῖσς ἐνδοξοτέροις τῶν Ἀττικιστῶν, μὴ μόνον ἐπὶ ἀπαρεμφάτου δηλονότι, ἀλλὰ καὶ ἐν τῇ ὀρθῇ συντάξει τοῦ λόγου· Ἔνθα οἱ περὶ ταῦτα δεινοὶ ἀπόλυτον, ἢ ἀνανταπόδοτον καλοῦσι τὴν ὀνομαστικήν· ὡς τὸ τοῦ Πλάτ. Νομικ. γ. σελ. 686. Ἀποβλέψας γὰρ πρὸς τοῦτον τὸν στόλον, οὗ πέρι διαλεγόμεθα, ἔδοξέ μοι πάγκαλος εἶναι.

Ἐὰν δὲ τὸ Ἀπαρέμφατον ταὐτοπροσωπῇ τῇ μεταβατικῇ τοῦ ῥήματος, ᾧ ἐπιφέρεται, ἡ ἐπενεχθεῖσα μετοχὴ, ἡγουμένη μὲν τοῦ ἀπαρεμφάτου, ὁμοιοπτωτεῖ τῇ μεταβατικῇ· ἑπομένη δὲ, ὡς ἐπὶ τὸ πλεῖστον κατ' αἰτιατικὴν τίθεται· οἷον· Παρήγγειλε τῷ Κλεάρχῳ, λαβόντι τὸ στράτευμα ἥκειν· καὶ τῷ Ἀριστίππῳ, συναλλαγέντι πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

τοὺς οἴκοι, πέμψαι τὸ στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι ἥκειν παρήγγειλε, λαβόντα τοὺς ἄνδρας (Ξενοφ. Κύρ. Ἀνάβ. Α΄. β΄. 1.).

Σημ. Παρὰ δὲ τοῖς Ἀττικισταῖς, καὶ προηγουμένη τοῦ ἀπαρεμφάτου ἡ μετοχὴ, κατ᾽ αἰτιατικὴν κεῖται· οἷον· Ἔδοξεν αὐτοῖς προφύλακας καταστήσαντας, συγκαλεῖν τοὺς στρατιώτας (Ξενοφ. Κύρ. Ἀνάβ. γ. ά 1.).

Ἐὰν δὲ τὸ Ἀπαρέμφατον ὑπαρκτικὸν ᾖ, τὸ ἐκ τρίτου πτωτικὸν ὁμοιοπτωτεῖν ὀφείλει τῷ ἐκ πρώτου· οἷον· Περικλῆς ἔφησεν εἶναι φίλος. Ἐντεῦθεν ἐπ᾽ ἄλλον ᾔα τῶν δοκούντων εἶναι σοφωτέρων (Πλάτ. ἀπολογ. Σωκράτ.). Οὔ φημὶ εἶναι δυνατὸν ἀνθρώποις μακαρίοις τε καὶ εὐδαίμοσι γενέσθαι (Πλάτ. Ἐπινομὶς.). Ἐνίοτε δὲ εἰς αἰτιατικὴν μεταβάλλει· οἷον· Οἷς ἐξ ἀρχῆς ὑπῆρξεν, ἢ βασιλέων υἱέσιν εἶναι, ἢ αὐτοὺς τῇ φύσει ἱκανούς (Πλάτ. ἐν Γοργίᾳ.).

Σημ ά Τό μετὰ τοῦ ἀποστατικοῦ ὥστε ἀπαρέμφατον, εἰ καὶ ταὐτοπροσωπεῖ τῷ προηγουμένῳ ῥήματι, ὅμως αἰτιατικὴν περιέχει ἀττικῶς ἀντὶ ὀνομαστικῆς· οἷον· Οὕτως οὖν αὐτοῖς ὠργίζοντο, ὥστε ἐλθόντας ἐκπορθῆσαι τὴν πόλιν (Θουκυδ.). Εἰ δὲ προηγεῖται ὀνομαστικὴ, ἐγκειμένη τῷ λόγῳ, ὁμοιοπτωτεῖ καὶ ἡ κατὰ τὸ ἀπαρέμφατον μετοχή· οἷον· Οὐδεὶς τηλικοῦτος ἔστω παρ᾽ ἡμῶν, ὥστε τοὺς νόμους παραβὰς μὴ δοῦναι δίκην.

Σημ β. Πολλάκις τὸ ἀπαρέμφατον ἀντὶ προστακτικῆς λαμβάνεται δευτέρου καὶ τρίτου προσώπου· ἔνθα ἐπὶ μὲν τοῦ δευτέρου προσώπου ὀνομαστικὴν ἔχει ἐκ πρώτου, ἤτοι ἐγκειμένην, ἢ νοουμένην· οἷον· Ἀλλὰ σύ γ᾽ Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν, εἰπεῖν. (Ἰλιάδ. Ρ 693.). Ἂν δ᾽ ἄρα τι τῷ μήκει πονῶν ἄχθῃ, μὴ ἐμὲ αἰτιᾶσθαι (Πλάτ. Σοφισ. σελ 218,). Ἐπὶ δὲ τρίτου αἰτιατικήν· οἷον· Γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν (Ησιοδ.). Καὶ ἀπροσώπως, μεταβαλλομένης τῆς ἐκ πρώτου εἰς δοτικὴν περιποιητικῶς, ἐπὶ εὐχῆς· Ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τίσασθαι (Ηρόδ. Έ. 105.). Ἐννοητέον δὲ πρὸς ἀπόδοσιν τῶν ἀπαρεμφάτων δεῖ, μέμνησο, δὸς, ἤ τι τοιοῦτον.

Σημ γ. Τὸ ἀπαρέμφατον ἐνίοτε ἀπολύτως κεῖται καὶ ἀντὶ θαυμαστικοῦ ἐπιφωνήματος· οἷον· Σὲ ταῦτα δρᾶσαι! ἀντὶ σὺ ταῦτα ἔδρασας! καὶ μετὰ τοῦ ἄρθρου τό· Τὸ Δία νομίζειν ὄντα τηλικοῦτον (Ἀριστοφ. Νεφέλ. 816·). ἀντὶ τηλικοῦτος ὢν δοξάζεις τὸν Δία! Κἀνταῦθα ἐννοητέον τὸ κατάλληλον ῥῆμα πρὸς ἀπόδοσιν.

Σημ δ. Βραχεῖαί τινες παρενθέσεις ἀπαρεμφατικαί· οἷον· ἁπλῶς φάναι, συνελόντι φάναι· ἐμοὶ δοκεῖν, ἤτοι ἐννοούμενον ἔχουσι τὸ ὥστε· οἷον· ὥστε φάναι· ἢ ὀνοματικῶς ἐλλείψει τῆς κατά· οἷον· κατὰ τὸ ἐμοὶ δοκεῖν.

Ε.Υ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Τῆς Μετοχῆς.

## Σύνταξις Μετοχῆς πρὸς τὸ Ῥῆμα.

Τρόποι τῆς πρὸς τὸ Ῥῆμα συντάξεως τῆς Μετοχῆς τρεῖς.

α΄. Ὀρθὸς, ἢ ταὐτοπροσωπικὸς ἀμετάβατος· ὅταν ὦσι δύο ῥήματα ταὐτοπροσωποῦντα, ὧν θάτερον εἰς μετοχὴν μετασχηματίζεται κατ᾽ ὀνομαστικὴν ἐν παντὶ προσώπῳ· οἷον· Ἐγὼ περιπατῶν, διαλέγομαι. Σὺ περιπατῶν, διαλέγῃ. Σωκράτης περιπατῶν, διαλέγεται.

β΄. Πλάγιος, ἢ ἑτεροπροσωπικὸς μεταβατικός· ὅταν ὦσι δύο ῥήματα μὴ ταὐτοπροσωποῦντα, ὧν θατέρου τὸ πρόσωπον εἰς τὸ τοῦ ἑτέρου ῥήματος μεταβατικῶς φέρεται. τότε γὰρ τὸ τῆς μεταβάσεως ῥῆμα εἰς μετοχὴν μεταβάλλει κατὰ πτῶσιν, ἣν ἀπαιτεῖ τὸ ῥῆμα· ἤτοι γενικὴν, ἢ δοτικὴν, ἢ αἰτιατικήν· οἷον· Τοῦ λέγοντος ἀκούω. Τοῖς ἐναντιουμένοις πολεμῶ. Τοὺς λέγοντας ἐπαινῶ.

Σημ. Εὕρηνται δὲ μετοχαὶ τοῦ τρόπου τούτου, καὶ κατὰ γενικὴν ἀπόλυτον προτιθέμεναι, ἐπιφερομένης ἀντωνυμίας εἰς ἐπανάληψιν, πρὸς ἣν ἀπαιτεῖ πτῶσιν τὸ ῥῆμα· οἷον· Μέλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος ∙ ∙ ∙ ἐπεδόθης ὡς βρέφος αὐτῷ· ἀντὶ μέλλοντι Συμεῶνι.

γ΄. Ἀπόλυτος, ἢ ἑτεροπροσωπικὸς ἀμετάβατος· ὅταν ὦσι δύο ῥήματα ἑτεροπροσωποῦντα, ὧν ἑκάτερον ἴδιον ποιεῖ λόγον, πρὸς μηδέτερον φερόμενον μεταβατικῶς· τότε οὖν θάτερον τούτων μετασχηματίζεται εἰς μετοχὴν κατὰ γενικὴν πτῶσιν ὡς ἐπὶ τὸ πλεῖστον· καὶ φαμὲν ὅτι ἀποδίδοται πρὸς ἑτεροπροσωποῦν ῥῆμα· οἷον· Ἐμοῦ διδάσκοντος, ἥκει Σωκράτης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Σημ. Ἔστι δ' εὑρεῖν καὶ ἐπὶ ταὐτοπροσωπίας γενικὴν ἀπόλυτον, ἀντὶ ὀνομαστικῆς τοῦ πρώτου τρόπου· οἷον· Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδυνάτου, καὶ ῥαδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο (Αἰσώπ. μῦθ. 143.). Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος τῷ τόπῳ, πλησίον δὲ ὄντος τῷ τρόπῳ · · · φθάσας ἀνεβόησε (Χρυσόστ. παραβ. ἀσώτ.). ἀλλὰ σπάνια ταῦτα καὶ ἡμῖν οὐ μιμητέα, ὡς ἀντιβαίνοντα τῷ κανόνι. Τοὐναντίον δὲ καὶ ὀνομαστικὴ ἀπόλυτος εὕρηται ἀντὶ γενικῆς· οἷον· Ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου, εἶπεν ὁ Κριτίας (Ξενοφ. Ἑλλην. β. 3. 54.).

Σημειούσθω δὲ, ὅτι ὁ τρίτος τρόπος καὶ κατ' ὀνομαστικὴν γίνεται ἐν τοῖς Ἀπροσώποις· οἷον· Ἄδηλον ὂν, ὁπότε τις ἐπελθὼν ἄλλος, ἀφαιρήσεται (Θουκυδ. ξυγγρ. Ά. β'.). Τοιοῦτο καὶ τὸ, Μικροῦ δεῖν. Ἔστι δὲ τὸ Δεῖν, ἀντὶ τοῦ δέον, κατὰ τὸ πλέον, πλεῖν· ἐκ συναιρέσεως δεῖν γενόμενον· ἡ δὲ γενικὴ ὀλίγου, μικροῦ, εἰς τὸ δεῖν, κατὰ τὰ Κτητικὰ τῶν ἀπροσώπων.

Καὶ κατὰ δοτικὴν ἐν τοῖς κινήσεως σημαντικοῖς ῥήμασιν· οἷον· Ἐξιόντι τῷ Ξάνθῳ, ἡ ἑτέρα τούτων ἀπέπτη (Αἰσώπ. βίος.). Προϊόντι δὲ τῷ Κύρῳ, ὁ πατὴρ ἤρχετο λόγου τοιοῦδε (Ξενοφ. Κύρ. παιδ. Ά. στ'. ά.). Καὶ κατ' αἰτιατικὴν ἐπὶ ψευδοῦς ὕλης καί πως μετ' εἰρωνείας, ἡγουμένου τοῦ ὡς· οἷον· Τοὺς υἱεῖς οἱ πατέρες εἴργουσιν ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μετὰ τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν (Ξενοφ. Ἀπομνημον. Ά. β'. 20.).

Σημ. Οὐχὶ ἐπὶ ψευδοῦς ὕλης ἐνταῦθα κεῖται ἡ αἰτιατικὴ, ἀλλὰ τὸ ἀληθὲς μᾶλλον αἰτιολογοῦσα τῆς τοῦ λόγου προτάσεως· βέλτιον οὖν εἰπεῖν, ἀντὶ γενικῆς ἀπολύτου κεῖσθαι, τὸ δὲ ὡς εἰκαστικόν· Ἔνθα ἐννοεῖται λέγοντες, δηλοῦντες, εἰκάζοντες, ἤ τι τοιοῦτον, πρὸς ὃ ἀποδίδοται μὲν ἡ αἰτιατικὴ τοῦ ὀνόματος ἐκ τρίτου, ἡ δὲ μετοχὴ ἐκ τετάρτου εἰδική· οἷον· Τοὺς υἱεῖς εἴργουσι · · · λέγοντες τὴν μετὰ τῶν χρηστῶν ὁμιλίαν, ὅτι ἄσκησις ἐστὶ, τὴν δὲ · · · ὅτι κατάλυσις ἐστί. Γίνεται δὲ τοῦτο, καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς πτώσεως, συμφωνούσης τῆς μετοχῆς τῇ τοῦ ῥήματος μεταβατικῇ· οἷον· Κατηγόρουν τοῦ Σωκράτους, ὡς ἀσεβοῦντος περὶ τὰ θεῖα· ἤτοι



Ε.Υ.Δ τμ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λέγοντες, ὅτι ἀσεβεῖ περὶ τὰ θεῖα· οὐ γὰρ ἁπλῶς αἰτιολογεῖ ἐνταῦθα ἡ μετὰ τοῦ ὡς μετοχὴ, ἀλλ' εἰδοποιεῖ πως καὶ τὰ τῆς κατηγορίας. Συντάσσεται ἔτι αἰτιατικῇ τὸ ὡς ἀντὶ γενικῆς ἀπολύτου, καὶ κολαστικὸν ὂν, ὡς ἐν οἰκείῳ τόπῳ εἰρήσεται.

## Σύνταξις Μετοχῆς πρὸς τὸ Ὄνομα.

Πρὸς δὲ τὰ Ὀνόματα, οἷς συμφέρονται, αἱ Μετοχαὶ συντάσσονται ὁμοιογενῶς, ὁμοιαρίθμως, καὶ ὁμοιοπτώτως, κατὰ τὰ ἐπίθετα, εἰμήτι διοίσει· οἷον.

Ὅταν προτάσσονται Ἀρσενικὰ, ἢ Θηλυκὰ, ἢ Οὐδέτερα ὁμοῦ, καὶ ἐπιφέρηται μετοχὴ, πρὸς τὸ ἐπικρατέστερον γένος ἀποδίδοται· οἷον· Ἀετὸς καὶ Ἀλώπηξ φιλιωθέντες (Αἰσώπ. μῦθ. ά.). Τοὺς ἔχοντας παῖδας ἢ γυναῖκας συναρμοζούσας (Ξενοφ. Κύρ. Παιδ. Ζ΄. έ. 6).

Ὅταν δὲ Ἀρσενικὰ ὁμοῦ καὶ θηλυκὰ προταχθῇ σημασίαν ἔχοντα οὐδετέρου, οὐδετέρου καὶ μετοχὴν ἀποδώσομεν τούτοις· οἷον. Νοῦς μὲν ἤδη καὶ αἴσθησις ἀπ' ἀλλήλων διακριθέντα (Γρηγ. Ναζ. εἰς Θεοφ.). Λίθοι τε καὶ πλίνθοι καὶ ξύλα καὶ κέραμος ἀτάκτως ἐῤῥιμμένα, οὐδὲν χρήσιμα ἐστίν (Ξενοφ. Ἀπομνημ. Γ΄. ά. 7).

Ὅταν δὲ ὦσιν ὀνόματα διαφόρων γενῶν, προτασσόμενα χωρὶς, ἡ ἐπιφερομένη μετοχὴ τοῦ ἐγγυτέρου ἔσται· οἷον. Κῦρος, καὶ ἡ Περσῶν βασιλεία, Κροῖσον καθελοῦσα, ἐπεστράτευσεν (Θουκ. ξυγγρ. Ά. ιστ΄.).

Ὅταν δὲ Περιληπτικὰ ὦσι τὰ ὀνόματα, πολλάκις ἑτερογενῶς καὶ ἑτεραρίθμως γίνεται ἡ τῆς μετοχῆς ἀπόδοσις πρὸς τὸ σημαινόμενον· οἷον. Ἡ πόλις ἀκούσαντες. Ὁ δῆμος συνελθόντες. Τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας (Θουκυδ. ξυγγρ. Γ΄. οθ). Ἡ δὲ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἐνίοτε οὐ τοῖς ἐκ πρώτου πτωτικοῖς, τοῖς δὲ ἐκ τρίτου, ἐπιφερομένη, συμφωνεῖ κατὰ γένος Ἀττικῶς· οἷον. Τοὺς μέγιστα ἐξημαρτηκότας, ἀνιάτους δεόντας, μεγίστην δὲ οὖσαν βλάβην πό-

λεως, ἀπαλλάττειν εἴωθε (Πλάτ. ἐν Νομ. Ε΄.). Οἱ ῥυθμοὶ καὶ τὰ μέλη φωνὴ οὖσα, ἤθεσιν ἔοικεν (Ἀριστ. ἐν Προβλήμασι.). Ἐνίοτε δὲ χαριέστερον τῇ ὑπαρκτικῇ πλαγίᾳ οὔσῃ, ἡ ἐκ τρίτου πτῶσις εἰς ὀνομαστικὴν τίθεται· οἷον. Ταῖς στιγμαῖς πέρατα οὔσαις πέρας οὐπρόσεστι.

## Περὶ Χρήσεως Μετοχῶν.

Χρώμεθα δὲ ταῖς Μετοχαῖς κατὰ τρόπους τρισκαίδεκα.

α΄. Αἰτιολογικῶς τοῦ ποιητικοῦ αἰτίου· οἷον· γράψας ὠφέλησα· ἤτοι ἐπειδή.

β΄. Ὀργανικῶς· ἀντὶ δοτικῆς ὀργανικῆς ἢ ἐλλειπτικῆς· οἷον. Σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας· ἀντὶ διδαχαῖς, ἀπειλαῖς· ἢ ἐν διδαχαῖς, ἐν ἀπειλαῖς.

γ΄. Εἰδικῶς· ἀντὶ εἰδικοῦ ἀπαρεμφάτου· οἷον. Οἶδά σε σοφὸν ὄντα· ἤτοι ὅτι εἶ σοφός.

δ΄. Τελικῶς· ἀντὶ τελικοῦ ἀπαρεμφάτου· οἷον. Ἥκω ἐρῶν· ἤτοι ἵνα εἴπω.

ε΄. Ὀνοματικῶς· ἐν μοίρᾳ ὀνόματος· οἷον. Τοὺς λέγοντας ἐπαινῶ· ἤτοι τοὺς λογίους.

ς΄. Ῥηματικῶς· ἐν μοίρᾳ ῥήματος· οἷον. Γράφων λέγω· ἤτοι καὶ γράφω, καὶ λέγω.

ζ΄. Ἀοριστολογικῶς· οἷον. Ὁ γυμνασιαρχήσων ἴτω· ἤτοι ὅς τις ἄν·

η΄. Ἀναφορικῶς· ἀντὶ ἀναφορικοῦ καὶ ῥήματος· οἷον. Ὁ ἐλθὼν καὶ σώσας ἡμᾶς· ἤτοι ὅς τις ἦλθε.

θ΄. Ὑποθετικῶς· ἀντὶ συντακτικοῦ συνδέσμου· οἷον. Ἀκολουθήσας σοὶ ἐπιδώσω.

ι΄. Χρονικῶς· ἀντὶ χρονικοῦ ἐπιῤῥήματος· οἷον. Παραταξάμενοι ἐμάχοντο· ἤτοι ἀφ' οὗ.

ια΄. Ἐνδοτικῶς· οἷον. Ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ ῥήματος μετοχὴ ἀποῦσα, ὅμως ἐπινοεῖται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ιβ΄. Τροπικῶς· ἀντὶ ἐπιῤῥήματος· οἷον. Χαίροντες ἔψαλλον· ἤτοι χαρμοσύνως.

Σημ. Ἔστι δὲ καὶ κατ᾽ ἀντιμέρειαν λαβεῖν τὴν σύνταξιν ταύτην, ἤτοι τὸ μὲν ῥῆμα εἰς μετοχὴν, τὴν δὲ μετοχὴν εἰς ῥῆμα· Ἔτυχεν ἀπιὼν, ἀντὶ τυχὼν ἀπῄει. Ἔφθην ποιήσας, ἀντὶ φθὰς ἐποίησα. ὅτε τὸ, τυχὼν, λαθὼν, φθὰς, ἐπιῤῥήματος, ἢ προθετοπτώτου ἔχει χώραν· Κατὰ τύχην, λάθρα, πρὸ μικροῦ.

ιγ΄. Ἀντὶ προθετοπτώτου γενικῆς· οἷον. Μὴ παύσῃ πρεσβεύων· ἤτοι ἀπὸ τοῦ πρεσβεύειν.

Σημ. ά Καὶ τῷ Ὥστε ἀποστατικῷ ἰσοδυναμεῖ μετὰ ἀπαρεμφάτου· οἷον· Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν διαλυθεῖσαν (Ἰσοκρ. Νικοκλ.). ὥστε διαλυθῆναι. Τὸ σῶμα συνήρμοσταί σοι, μικρὸν μέρος λαβόντι ἑκάστου (Ξενοφ. Ἀπομνημ. Α. 4. 8.). ἀντὶ συνήρμοσται οὕτως, ὥστε μικρὸν μέρος λαβεῖν ἐξ ἁπάντων.

Σημ. β. Καὶ ἀντὶ ἀπαρεμφάτου κεῖται τελικοῦ, ἢ ὀνοματικοῦ, ἐπὶ τῶν ῥημάτων ἀγαπῶ, περιορῶ, ἀνέχομαι, καὶ τῶν τοιούτων· Οὐκ ἀγαπῶ ζῶν ἐπὶ τούτοις (Ἡρόδοτ.). Ἀνεχέσθω καταφρονούμενος (Θουκυδ.).

Καὶ Εἰδικῇ μὲν Μετοχῇ συντάσσονται.

ά. Τὰ γνωστικά· οἷον. Καὶ ὁ μὲν Ἀστυάγης, ἐπεὶ ἔγνω ἐπιθυμοῦντα. (Ξενοφ. Κύρ. Παιδ. Ά. δ΄. 7.)

β΄. Τὸ πυνθάνομαι· οἷον. Πυνθανόμενον τὴν Παλλήνην ἀτείχιστον οὖσαν. (Θουκυδ. ξυγγρ. Ά. ξδ.)·

γ΄. Τὸ ἀκούω· οἷον. Ἐπειδὴ ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαπραττόμενον τὸν Κῦρον. (Ξενοφ. Κύρ. Παιδ. Α. δ΄. 25.)

δ΄. Τὸ αἰσθάνομαι· οἷον. Οὐκ ᾐσθάνοντο προσιόντων τῶν πολεμίων. (Ξενοφ. Ἑλλην. Δ΄. β΄. 12.)

έ. Τὰ τῆς ὁράσεως· οἷον. Ὡς ἑώρα τὸ ἄλλο στράτευμα ἡσσώμενον. (Θουκυδ. ξυγγρ. Ά. ξγ΄.)

ϛ΄. Τὸ μανθάνω· οἷον. Ὡς μάθῃς οὐδ᾽ αὐτὸν ἀμελῆ ὄντα με. (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.)

ζ΄. Τὸ ἀγγέλλομαι· οἷον. Ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν, καὶ τεθνεώς. (Δημοσθ. Ὀλυνθ. β΄.)

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

η΄. Τὸ δηλῶ καὶ δῆλος εἰμί· οἷον· Καὶ αὐτὰ δὴ ταῦτα δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης. (Θουκυδ. ξυγγρ. Ά. ιά.) Ὅπως μὴ δῆλος εἴη εὐγενὴς αὐτοῖς ὤν. (Ἡρόδοτ. Α΄. Κλειώ.)

θ΄. Τὸ φαίνομαι, καὶ φανερὸς εἰμί· οἷον· Ὡς δ' ἂν φαίνηται τεθνηκώς· (Ἡρόδοτ. Κλειώ.) Ὁ σὺ νῦν πεποιηκὼς εἶ φανερός. (Δημοσθ. περὶ Στεφ.)

ι΄. Τὸ δείκνυμι· οἷον· Πολλὰ δ' ἄντις καὶ ἄλλα ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα διαιτώμενον. (Θουκυδ. ξυγγρ. Η΄. νς΄.)

ιά. Τὸ φωρῶμαι· οἷον· Δείσας μὴ πάνυ φωραθῇ ἀδύνατος ὤν. (Θουκυδ. ξυγγρ. Ή. νς΄.)

ιβ΄. Τὸ μέμνημαι· οἷον· Μέμνημαι καὶ ταῦτα ἀκούσας σου. (Ξενοφ. Κύρ. Παιδ. Ά. ς΄. 6.)

ιγ΄. Τὸ ἐπιλανθάνομαι· οἷον· Ἐπελαθόμεθα σάρκες ὄντες. (Γρηγόρ. Ναζ. περὶ Φιλοπτ.) Ἐλελήθεις με καὶ γραφεὺς ἀγαθὸς ὤν. (Λουκιαν. Τόξ. ἢ φιλ.)

ιδ΄. Τὸ εὑρίσκω· οἷον· Εὕρομεν καὶ ἄλλην αἰτίαν συμβαίνουσαν. (Γρηγορ. Ναζ. περὶ φιλοπτ.)

ιέ. Τὸ κατανοῶ· οἷον· Κατενόησαν οὐ πολλοὺς Θηβαίους ὄντας. (Θουκυδ. ξυγγρ. Β΄. γ΄.)

Τελικῇ δὲ, τὰ κινήσεως σημαντικὰ, κατὰ Χρόνον ὡς μὲν ἐπὶ τὸ πολὺ μέλλοντα, ἐνίοτε δὲ καὶ ἐνεστῶτα· οἷον· Ἥκω ἐρῶν, Πέμπω σε ἀγγελοῦντα, οὐχ ἧσσον διδόντες, ἢ ληψόμενοι ἀσφάλειαν παραγίνονται. (Θουκυδ. ξυγγρ. Α΄ λγ΄.)

Ἡ δ' ἀντὶ προθετοπτώτου γενικῆς ἕπεται ἀεὶ τοῖς λῆξιν, ἢ παῦσιν σημαίνουσι ῥήμασιν· οἷον· Ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν. (Λουκιαν. Ἐνύπνιον.) Ἀλλ' ἵνα αὐτοὺς ἐκείνους παύσω . . . τοιαύτην γνώμην ἔχοντας. (Ἰσοκρ. Πανηγ. κεφ. λς΄.)

Σημ. Καὶ ἄλλα τινὰ ἔτι τῶν ῥημάτων, μὴ σημαίνοντα κίνησιν, μετοχῇ συντάσσονται τελικῇ ὁμοίως· οἷον· Τρέχω σε μαχούμενον ἀλλ' οὐ λοιδορούμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Ι. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ταῖς δὲ λοιπαῖς χρώμεθα μεταβάλλοντες πᾶν ῥῆμα εἰς μετοχὴν κατὰ τὴν χρείαν· καὶ τῇ μὲν ἀναφορικῇ καὶ ἀοριστολογικῇ καὶ ἐνάρθρως πολλάκις· ταῖς δὲ λοιπαῖς ἀνάρθρως. Καὶ ἐν μὲν τοῖς ἄλλοις τρόποις, τὸ προηγουμένην ἐνέργειαν σημαῖνον ῥῆμα μεταβάλλεται εἰς Μετοχήν· ἐν δὲ τῷ ῥηματικῷ, ἀδιαφόρως.

Ὅταν δὲ πολλαὶ τύχωσι μετοχαὶ πρὸς ἓν ἀποδιδόμεναι ῥῆμα· ἐὰν μὲν ταὐτοδυναμῶσιν ἀλλήλαις, συνδεδεμένως λέγονται· ἐὰν δὲ διαφέρωσιν, ἀσυνδέτως· οἷον. Κυμαίνουσαν οὖν ἔχων τοσαύταις φροντίσι τὴν ψυχὴν, συγκαλέσας τοὺς φίλους, καὶ τὸν παῖδα παραστησάμενος, ἡσυχῇ τοῦ σκίμποδος κουφίσας ἑαυτὸν, τοιούτων λόγων ἤρξατο. (Ἡρωδιαν. Α΄. γ΄.). Πολλάκις δὲ δυεῖν οὐσῶν μετοχῶν, παρεμπεσὸν τὸ ῥῆμα, συνδέσμου τόπον ἐπέχει· οἷον. Μείναντες δὲ ταύτην ἡμέραν, τῇ ἄλλῃ ἐπορεύοντο, πρωϊαίτερον ἀναστάντες. (Ξενοφ. Κύρ. Ἀνάβ. Γ΄. δ΄. ΄.). Καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον. (Ξενοφ. Κύρ. Παιδ. Α΄. ϛ΄. 12.)

# Τῶν Προθέσεων.

## Τῶν δὲ Προθέσεων ἐν Συντάξει καὶ Συνθέσει συντασσομένων·

### Ἡ μὲν Ἐν.

Ἐν μὲν Συντάξει σημαίνει· ά. Χρόνον· οἷον· Ἐν τῷ πρὶν χρόνῳ (Θουκυδ. ξυγγρ. Δ΄ κά.). β΄. Τόπον· οἷον· Οἱ ἐν Πελοποννήσῳ (Ἀῤῥιαν. Ἀνάβ. Ἀλεξ. Α. ζ΄. 5.). γ΄. Τὸ μεταξύ· οἷον· Ἄμεινόν ἐστιν